ἐν [μὲν] τῷ φόβῳ κάτω, ἐν δὲ τῷ θανάτῳ, κάτωθεν ἄνω, ἐξυγρασμένον τῇ θερμότητι ποιεῖ τὴν τοῦ σπέρματος ἔξοδον. θ Διὰ τί οὐ δεῖ μὴ ὀργῶντα, οὔτε ἀφροδισιάζειν, οὔτε ἐμεῖν, οὔτε πταρνύσθαι, οὔτε φῦσαν ἀφιέναι; ἢ ὅτι μὴ ὀργῶντες ὁμοίως ἔχομεν τοῖς ἐκ τῆς γῆς ἀνασπωμένοις, οἷς προσεκσπᾶταί τι ἀλλότριον, ἢ ἐγκαταλείπεταί τι ἀποσπασθέν; ἅπαν δὲ ὃ δεῖ μὲν ἐξαρθῆναι, κολοβὸν δὲ ὑπολείπεται, πλείω χρόνον παρέξει πόνον. ἐάν τε τις κινήσῃ τι ἀλλότριον, τοῦτο πόνον παρέξει, οὐκ ἐν τῇ αὐτοῦ χώρᾳ ὄν· ἃ συμβήσεται τοῖς μὴ ὀργῶσι, ποιοῦσί τι τῶν εἰρημένων. ι Διὰ τί νήστεις θᾶττον ἀφροδισιάζουσιν; ἢ διότι οἱ πόροι κενώτεροι οἱ τοῦ σώματος νήστεσι, πλήρεσι δὲ πλήρεις; κωλύουσιν οὖν τὴν εἰς τὸ σπέρμα ὑγρότητα διεξιέναι. δῆλον δὲ ἐπὶ τῆς κύστεως. οὐ γὰρ δύνανται πλήρους οὔσης ταχὺ ἀφροδισιάζειν. ια Διὰ τί οἱ νέοι ὅταν πρῶτον ἀφροδισιάζειν ἄρχωνται, αἷς ἂν ὁμιλήσωσι, μετὰ τὴν πρᾶξιν μισοῦσιν; ἢ διὰ τὸ μεγάλην γίνεσθαι τὴν μεταβολήν; τῆς γὰρ συμβαινούσης ὕστερον ἀηδίας μεμνημένοι, ὡς αἰτίαν ἧ ἐπλησίασαν, φεύγουσι. ιβ Διὰ τί οἱ ἱππεύοντες [συνεχῶς,] ἀφροδισιαστικώτεροι γίνονται; ἢ ὅτι διὰ τὴν θερμότητα καὶ τὴν κίνησιν, ταὐτὸ πάσχουσιν ὅπερ ἐν τῇ ὁμιλίᾳ; διὸ καὶ τῇ τῆς ἐπεχούσης ἡλικίας ἐπιδόσει, περὶ τὰ αἰδοῖα μείζω τὰ μόρια ταῦτα γίνεται· [ἀεὶ οὖν τῇ κινήσει ταύτῃ χρώμενοι, εὔροα τὰ σώματα γίνεται,] καὶ προωδοποιημένα πρὸς τὸν ἀφροδισιασμόν. ιγ Διὰ τί ὅταν ἄρξωνται ἀφροδισιάζειν δύνασθαι, οἱ χρῶτες ὄζουσι· πρότερον δ' οὐκ ὄζουσι πρὸ ἥβης, οὔτε οἱ ἄνδρες, οὔτε αἱ γυναῖκες; ἢ ὅτι τὰ ἄπεπτα, τοῖς τε χυμοῖς ἀεὶ χείρους ἔχει, (ἢ γὰρ ὀξυτέρους, ἁλμυρωτέρους, ἢ πικροτέρους) καὶ τὰς ὀσμὰς δυσωδεστέρας; τὰ δὲ πεπεμμένα, ἢ γλυκεῖς, ἢ ἧττον ἀγλευκεῖς, καὶ τὰς ὀσμὰς εὐωδεστέρας, ἢ ἧττον δυσώδεις; τοῦτο δ' ἐστὶ δῆλον ἐπὶ πάντων θεωμένοις καὶ φυτῶν καὶ ζώων· ἀφαιρεθέντων δὴ τῶν εὐπέπτων, τὰ ὑπολειπόμενα ἄπεπτα· διὸ δὴ καὶ ἐπὶ τῆς τέφρας, ἀναλωθέντος τοῦ γλυκέος, πικρὰ ἡ κονία, καὶ ὁ ἱδρὼς ἁλμυρός. πέττει δὲ ἡ φυσικὴ θερμότης τὸ σπέρμα ὃ μικρὸν ὄν, πολλὴν ἔχει δύναμιν ἐκ πολλοῦ γὰρ ὀλίγον συγκεφαλαιοῦται. διὸ ὅταν ἀπέλθῃ, λύονται ὡς ἐπὶ τὸ πολύ

A per mortem ſurſum deuius agitat, madificare & ſeminis excitare profluuium poteſt. 9 Cur neque concumbere, neque euomere, nec ſternuere, neque flatum emittere oportet, niſi res turgente corpore vrgeat? An quia cùm non turgemus, ſimiles terræ ſtirpibus ſumus, quibus euulſis, aut alienum conuellitur quippiam, aut aliquid abſciſſum relinquitur. Quod autẽ cum extrudi debet, minutum remanſerit, B dolorem diutius id omne mouebit: & ſi quid alienum cõmotum ſit, id cùm ſua ſede priuetur, doloré creabit. Quæ certè iis vſu euenient, qui cùm non turgent, aliquid faciunt ex iis, quæ modò retulimus. 10 Cur ieiuni celerius concumbunt? An quòd foramina corporis ieiuno inaniora, repleto autem plena habentur: itaque impediunt, ne humor ſeminis genitalis valeat permeare: quod latiſſimè in veſica pa C tet: hac etenim plena, nunquàm celeriter concumbere poſſumus. 11 Cur adoleſcentuli cùm primò concumbere incipiunt, quibus cum fuerint congreſſi, eas, re peracta odio habeant? An quòd mutatio ſumma extiterit, ſequentis triſtitiæ memores, eam fugiunt tãquam fontem, ad quam ſeſe applicauerunt. 12 Quare qui equitant, aſſiduè libidinoſiores euadunt? An caloris, agitationíſque cauſa eodem affi D ciuntur modo, quo per coitum. Quocirca ætatis quoque acceſſione membra genitalia contrectata, agitatáque plenius augentur. Quod igitur ſemper eo vtuntur motu qui equitant, hinc fluentiore corpore, præparatóq. ad concũbendum euadũt. 13 Quare concumbendi facultatem dari per ætatem cùm cœptum eſt, corpora malè olent: priùs autem ante pubem non ita olent nec viri, nec mulieres? An quouiam quæ incocta ſunt, tum ſapores habent de E teriores: aut enim acidiores, aut ſalſiores, aut amariores: tum odores reddunt fœtidiores. Contrà, quæ concocta, maturáque ſunt, ſapores aut dulces, aut minùs amaros, & odores ſuauiores præſtant, aut certè minùs inſuaues. Patet hoc in omnibus tam terræ ſtirpibus, quàm animantibus ipſis. Detractis autem quæ matura, concoctáque ſunt, cætera cruda relin F quuntur: vt & in cinere, portione dulci conſumpta, puluis amarus relinquitur. Et ſudor quoque ſalſus eadem de cauſa eſt. Calor autem naturalis ſemen genitale concoquit: quod quanquam exiguum eſt, vim tamen obtinet maximam,